ὠφελοῦντα κἂν εἰς τὴν γλυφὴν ἔχοιεν ἣν ὁ Νεχεψὼς ἔγραψε. Τὸν δ᾽ ὀφίτην λίθον ὁ νῦν ἀξιάγαστος οὕτως ἔφη· τοὺς ἐχεοδήκτους ὠφελεῖν περιαπτόμενον. ἀλλ᾽ ἔξω τῆς κατὰ μέθοδον χρήσεως αἱ τοιαῦται δυνάμεις εἰσίν· ὥσπερ γε καὶ τοῦ ἱερακίτου καὶ ἰνδικοῦ τὸ ἐν τῶν αἱμορροΐδων ἐπέχειν αἷμα:· περὶ σαπφείρου:·

Καὶ γὰρ οὖν καὶ ὁ σάπφειρος πεπίστευται πινόμενος ὠφελεῖν τοὺς ὑπὸ σκορπίου πληγέντας:· περὶ ἀφροσελίνου·

Καὶ ὁ ἀφροσέληνος καλούμενος, τοὺς ἐπιλήπτους, οὐ μὴν ἡμεῖς γε ἐπειράθημεν· εἰσὶ δὲ καὶ ἄλλοι λίθοι περιαπτόμενοι τραχήλων. ἔνιοι δὲ καὶ χαρακτῆρας τινὰς ἐγγεγραμμένους ἔχοντες καὶ γράμματα, καθάπερ καὶ ὁ πρὸς τὰς αἱμορροΐδας ὁ μονὰς ἱερακίτης. οὐ καὶ ἡμεῖς ἐπειράθημεν· ἀλλ᾽ ὅμως περὶ τῶν τοιούτων λέγειν καιρὸς ἐξ ἐμπειρίας μόνης ἐχόντων τὴν πίστιν· οὐ κατὰ μέθοδόν τινα λογικὴν εἰς χρῆσιν ἡκόντων. ἄλλος οὖν ὁ περὶ τούτων ἔσται καιρὸς καὶ λόγος· νυνὶ δὲ τὸ προκείμενον ἐξ ἀρχῆς ἡμῖν ἐν ὅλῃ τῇ πραγματείᾳ.

περὶ λίθου σκυρίδου ζυίτου

Ἁπάντων δὲ τῶν εἰρημένων λίθων ἰσχυρότερον ἔχει δύναμιν ὁ ἐκ τῆς Αἰθιοπίας κομιζόμενος· οὗτος ὁ λίθος εἰς χνοῦν γεγενημένος κατὰ τῶν ἑλκῶν δακνώδης ὑπάρχει τοῖς καμνοῦσι· καὶ διὰ τοῦτο ταύτην οὐδεὶς ἔμιξεν ὀφθαλμικαῖς δυνάμεσιν οὔτ᾽ ἀποκρουστικοῖς φαρμάκων. οὔθ᾽ ἑλκῶν ἰατικοῖς· ἀλλὰ μόνον εἰς τὸ καθαίρειν καὶ ῥύπτειν τὰ χωρὶς φλεγμονῆς ἐπὶ σκοτώματα τοῖς κόραις· ἐξ ὧν εἰσὶ καὶ αἱ σαρκοφάγοι ζῶν οὐλῶν ἃς λεπτύνουσα φύσιν· ἀπορρύπτει δὲ καὶ τὰ μὴ πάνυ σκληρὰ τῶν πτερυγίων:· περὶ ἰουδαϊκοῦ

Ἔστι δὲ καὶ ἄλλος λίθος ἰσχυρότερος τὴν δύναμιν ἐν τῇ Παλαιστίνῃ Συρίᾳ γεννώμενος· λευκὸς μὲν τὴν χρόαν· εὔρυθμος δὲ κατὰ τὸ σχῆμα καὶ γραμμὰς ἔχων, ὡς ἀπὸ τόρνου γεγονυίας· ὀνομάζουσι δ᾽ αὐτὸν ἀπὸ τῆς χώρας ἐν ᾗ γεννᾶσθαι πέφυκεν, ἰουδαϊκόν· καὶ χρῶνται πρὸς τοὺς ἐν τῇ κύστει λίθους, ἀνιέντα μὲν ἐπ᾽ ἀκόνης· ποτίζοντα ἐπὶ ὕδατος θερμοῦ κυάθων τριῶν· ἡμεῖς δ᾽ ἀφ᾽ ὧν ἐπειράθημεν οὐδὲν ἤνυσεν ὡς πρὸς τοὺς ἐν κύστει λίθους· ἐπὶ δὲ τῶν ἐν νεφροῖς συνισταμένων δεῖ δεασθῆναι εἰς τὸν ἰσχυρὸν δύναμιν ἔχοντα· ἔστι καὶ ὁ πυρίτης

πυρίτης